**ἐπῳδικὸν ποίημα (ἆσμα, εἶδος τῶν χορῶν, μέλος) / ἐπῳδικὴ ᾠδή**

**1**. Hephaest. 60. 17 sqq. τῶν γὰρ κατὰ σχέσιν (*scil.* ποιήματων) τὰ μέν ἐστι μονοστροφικά, τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατὰ σχέσιν, <τὰ δὲ κοινὰ κατὰ σχέσιν> (*suppl. Turnebus*).

Hephaest. 62. 7 sqq. μικτὰ δὲ κατὰ σχέσιν (*scil.* ποιήματα) ἐστίν, ὅσα ἐκ μερῶν ἐστιν, πάντων μὲν κατὰ σχέσιν, ἀνομοίων δὲ ἀλλήλοις κατὰ τὴν ἰδέαν, <οἷον> ἔκ τε ἐπῳδικῶν καὶ μονοστροφικῶν, ἢ κατὰ περικοπήν. κοινὰ δέ ἐστι κατὰ σχέσιν, ὅσα καθ᾽ ἑτέραν μὲν ἰδέαν τῶν κατὰ σχέσιν γέγραπται, δύναται δὲ καὶ καθ᾽ ἑτέραν γεγράφθαι δοκεῖν, οἷον, εἰ μονοστροφικῶς γραφὲν δύναται τοῦτο καὶ ἐπῳδικῶς γεγράφθαι δοκεῖν.

Hephaest. 66. 17 sqq. τῶν δὲ κατὰ σχέσιν (*scil.* ποιημάτων) τὰ μέν ἐστι μονοστροφικά, τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατὰ σχέσιν, τὰ δὲ κοινὰ κατὰ σχέσιν. … (24 sqq.) ἐπῳδικὰ δέ ἐστιν, ἐν οἷς συστήμασιν ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται. δηλονότι ἐπ᾽ ἔλαττον μὲν τοῦ τῶν τριῶν ἀριθμοῦ οὐκ ἂν γένοιτό τι τοιοῦτον, ἐπὶ πλεῖον δὲ οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι· γίνεται γὰρ ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς καὶ πεντὰς καὶ ἐπὶ πλεῖον.

Tzetz. *de metr. Pind.* 17. 5 sqq.

ὑποδιαίρει πάλιν δὲ κατὰ σχέσιν (*sc.* ποίηματα) οὕτως.
τούτων τὰ μὲν μονοστροφικά, τὰ δ᾽ἐπῳδικά τε,
τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ τε,
τὰ δ᾽ἀντιθετικά εἰσι. ...
(14 sq.)
… τὰ γὰρ ἐπῳδικά τε,
ὅταν στροφή, ἀντίστροφος καὶ ἐπῳδὸς τυγχάνῃ.

Tzetz. *de metr. Pind.* 18. 4 sqq.

Δεῦρ᾽ἴθι τὰ δ᾽ἐπῳδικά ὑποδιαίρει πάλιν
καὶ τοὔσχατόν δε γίνωσκε ταῦτ᾽ὄντα ἐν τριάδι.
εὕρηνται καὶ τετραδικὰ σὺν τοῖς πενταδικοῖς τε,
ἐν τούτοις τοῦ ἐπῳδικοῦ πολλαπλασιασθέντος
...

Schol. in Aesch. *Prom.* 526 (p. 41 Smyth) Tr ἡμέτερον † μηδάμ᾽ ὁ πάντα νέμων] τὰ τοιαῦτα εἴδη τῶν χορ<ῶν> καλεῖται κατὰ σχέσιν. κατὰ σχέσιν δέ ἐστιν, ὡς Ἡφαιστίων φησίν (64. 22 sq.), ὅσα δουλεύων ὁ ποιητὴς ἀνταποδόσει καὶ ἀνακυκλήσει γράφει. ἰστέον δὲ ὅτι καὶ τὰ ἐπῳδικὰ κατὰ σχέσιν ἐστίν.

**2.** Hephaest. 61. 1 sqq. τὰ δὲ (*scil.* ποιήματα) <…> (*lacunam sic explevit Hense*: ἐπῳδικά ἐστιν ἐν οἷς περιόδοις ὁμοίαις ἀνόμοια προστέκται. ἐὰν μὲν οὖν τὴν ἀνόμοιαν ἔχῃ ἐν τῇ τελευταίᾳ χώρᾳ ὁμονύμως τῷ γένει) ἐπῳδικὰ καλεῖται, ἐὰν δὲ ἐν τῇ πρώτῃ, προῳδικά, ἐὰν δὲ ἐν μέσῳ, μεσῳδικά.

Hephaest. 67. 6 sqq. τοῦ δὲ ἐπῳδικοῦ γένους τὰ μέν (*scil.* ποιήματα) ἐστιν ὁμωνύμως αὐτῷ καλούμενα ἐπῳδικά, τὰ δὲ προῳδικά, τὰ δὲ μεσῳδικά, τὰ δὲ περιῳδικά, τὰ δὲ παλινῳδικά. ἐπῳδικὰ μὲν οὖν ἐστιν, ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται, ὡς τά γε πλεῖστα Πινδάρου καὶ Σιμωνίδου πεποίηται.

Hephaest. 68. 14 sqq. μικτὸ δέ ἐστι κατὰ σχέσιν ποίημα, ἐν ᾧ ἐστι μέρη τινά, ἅπερ ἔφαμεν εἶναι τοῦ κατὰ σχέσιν εἴδη, οἷον λόγου χάριν τό τε ἐπῳδικὸν καὶ τὸ μεσῳδικόν.

Anon. *de trag.* 7 (62 sqq. Perusino) ... τῶν δὲ ἀντιστρόφων (*scil.* μελῶν) τὰ μὲν μονόστροφα, τὰ δὲ ἐπῳδικὰ καλεῖται. ἔστι δὲ ἐν τοῖς δράμασι καὶ προῳδικὸν καὶ μεσῳδικόν. κοινῶς δὲ πάντων τῶν ἀντιστρόφων μελῶν τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ μεταβολικά. γίνεται δὲ ἡ μεταβολὴ ἢ ἐκ μονοστρόφου εἰς μονόστροφον ἢ ἐξ ἐπῳδικοῦ εἰς ἐπῳδικὸν ἢ ἐκ μονοστρόφου εἰς ἐπῳδικὸν ἢ ἀνάπαλιν.

Tzetz. *de metr. Pind.* 19. 1 sqq.

Τοιγάρτοι τοῦ ἐπῳδικοῦ καὶ ὑπαλλήλου γένους
τὰ μέν εἰσίν ὁμώνυμα ἐπῳδικὰ τῷ γένει,
προῳδικά, μεσῳδικὰ καὶ παλινῳδικά τε,
ἄλλα τε περιῳδικὰ τύγχανει ἐπὶ τούτοις.
ἐπῳδικὰ μὲν γίνωσκε, ἵνα τὸν ὅρον εἴπω,
οἷστισιν ἐπιφέρεται ἀνόμοιον ὁμοίοις.
ὅμοια λέγει τὴν στροφὴν συνάμα ἀντιστρόφῳ,
ὁ ἐπῳδὸς δὲ ἔκτοτε, ἐπῳδικὸν τυγχάνει.
ἔχεις τὸν Πίνδαρον αὐτὸν τούτοις χοροστατοῦντα.

Tzetz. *de metr. Pind.* 26. 17 sqq.

εἰ δέ πως ἦν ἐπῳδικὸν (*sc.* τὸ ᾆσμα), ὡς πλεῖστα τὰ Πινδάρου,
ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ δὴ τῆς ἀντιστρόφου
τὰ παλαιὰ ἀντίγραφα παράγραφον ἐπλούτουν·
ἐν μέντοιγε τῷ ἐπῳδῷ, πάντως δὲ ἐν τῷ τέλει
ἡ κορωνὶς ἐτίθετο δηλοῦσα πάντως λέξιν·
περικοπῶν δὴ τῶν τριῶν κορωνὶς γὰρ ἐσχάτη.

Tzetz. *de metr. Pind.* 67. 6 sqq.

τὸ πέμπτον (*sc.* ἐπινίκιον) οὐκ ἐπῳδικὸν, στροφὴν δ᾽ἀντιστροφόν τε
ἔχει ὁμοίαις ἐν ἁπλαῖς πάσαις ταῖς περιόδοις·
στροφὴ τὸ τρίτον πάλιν δε κώλοις τισὶν ὁμοίοις.
ἡ τρίτη γὰρ περικοπὴ οὐκ ἔστιν ἐπῳδὸς ὑπῆρχεν,
στροφῇ τῇ ἀντιστρόφῳ τε, πολλάκις σοι ὡς ἔφην,
τρεῖς δὲ εἰσὶ περικοπαὶ ὅμοιαι πᾶσαι αὗται
κώλοις ἐννεακαίδεκα ἑκάστη συγκειμένη.

Schol. vet. in Pind. *praef.* (III, p. 306. 24 sqq. Drachmann) b. (~ Schol. rec. in Pind. *Ol.* 1, p. 44. 6 sqq. Abel) ἐχρῶντο (*sc.* οἱ λυρικοὶ) δὲ καὶ τριάσι καὶ δυάσιν, ὡς οὗτος [ὁ ποιητής], ἤγουν στροφῇ, ἀντιστρόφῳ καὶ ἐπῳδῷ, ἢ στροφῇ μόνῃ καὶ ἀντιστρόφῳ· οἱ δ᾽ ἄλλοι (πολλοὶ δὲ schol. rec.) καὶ τετράσιν καὶ πεντάσιν, ἤγουν στροφῇ, ἐπῳδῷ, ἀντιστρόφῳ καὶ πάλιν ἀνομοίῳ ἐπῳδῷ· πεντάσι δὲ, ἤγουν ἐπῳδῷ, στροφῇ, ἐπῳδῷ, ἀντιστρόφῳ, ἐπῳδῷ· ἅτινα ἐλέγοντο (ἐλέγετο schol. rec.) προῳδικὰ καὶ ἐπῳδικὰ καὶ μεσῳδικὰ καὶ παλινῳδικά.

Schol. vet. in Pind. *Ol.* 1 (p. 1. 1 sqq. Tessier) τῶν ἐν τοῖς ἐπινίκοις τοῖς ὑπὸ Πινδάρου γεγραμμένοις εἰς τοὺς Ὀλυμπιονίκας πρώτη ᾠδὴ ἐπῳδική ἐστι τριαδικὴ περικοπῶν δʹ. καὶ ἔστιν ἡ πρώτη στροφὴ καὶ ἀντίστροφος κώλων ιζʹ, ἡ δὲ ἐπῳδὸς κώλων ιγʹ.

Schol. rec. in Pind. *Ol.* 5 praef. 1 (p. 182. 6 sqq. Abel) τὸ ε′ εἶδος οὐκ ἐπῳδικὸν εἶναί φασιν, ἀλλ᾽ ἁπλαῖ περίοδοι γ′ ἑαυταῖς συμφωνοῦσαι, καὶ ιθ′ κώλων ἑκάστην περίοδον λέγουσιν. οὐκ ἔστι δὲ τοιοῦτον, ἀλλ᾽ ἐπῳδικόν ἐστι καὶ τοῦτο, ὡς τῷ σοφωτάτῳ Μοσχοπούλῳ ἐπενοήθη, τὸ ᾆσμα, καὶ γ′ στροφῶν, ὡς ὁρᾷς.

Schol. rec. in Pind. *Ol.* 14 (p. 419. 6 sqq. Abel) τὸ ιδ′ εἶδος τῶν Ὀλυμπίων οὐκ ἔστιν ἐπῳδικὸν ὡς τὰ λοιπά, ἀλλὰ β′ ἐστὶ στροφῶν μονοστρόφων· οὔτε ἀντιστροφὰς γὰρ ἔχουσιν οὔτε ἐπῳδούς, ἀλλὰ μονόστροφοί εἰσιν ὡς εἴρηται.

Schol. Tricl. in Soph. *Ai.* 172a (p. 3. 3 sqq. Tessier) ἦ ῥά σε Ταυροπόλα Διός] τὰ τοιαῦτα εἴδη τῶν χορῶν ἐστὶν ἐπῳδικά· ἐπῳδικά δὲ καλεῖται ὡς Ἡφαιστίων φησίν (66. 24 sqq.) *da completare*… ὡς τὰ πλεῖστα Πινδάρου καὶ Σιμωνίδου πεποίηται.

Schol. Tricl. in Soph. *Oed. Tyr.* 462a (p. 56. 7 sqq. Tessier) τίς ὅντιν᾽] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν ὡς εἴρηται (schol. Tricl. in Soph. *Ai.* 221a)· ἴσθι δὲ ὅτι καὶ τὰ ἄλλα ὅσα καὶ ἀντιστροφὰς ἔχει, κατὰ σχέσιν ἐστίν· ἀλλ᾽ὅτι καὶ ἐπῳδοὺς ἔχει, καλεῖται διὰ τοῦτο ἐπῳδικά·

Schol. in Aristoph. *vesp.* 273a (p. 50. 6 sq. Koster) Tr 270. σ τ ά ν τ ε ς ] … τῶν γὰρ χορικῶν μελῶν ... τὰ δὲ (*scil.* ἐστι) προῳδικά, τὰ δὲ μεσῳδικά, τὰ δὲ ἐπῳδικά, περὶ ὧν προείρηται, τίνος χάριν οὕτω καλεῖται (Lh: καλοῦνται Ald) ...

**3.** Schol. in Aesch. *Eum.* 808 (p. 92. 11 Langwitz Smith) Tr + ᾠδὴ χοροῦ ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. [*G.P.*]

**vd. etiam ἐπῳδικὴ πεντάς; ἐπῳδικὴ τριάς**